ἡμέραν κυρίου· καὶ εἶδε τυπικῶς καὶ ἐχάρη· καὶ πῶς ἡμεῖς οἱ βλέποντες ἐναργέστερον, οὐκ ἀγαλλιασόμεθα καὶ χαιρήσομεν καὶ μακαριοῦμεν ἡμᾶς αὐτοὺς ὁρῶντες καὶ ἀκούοντες, ὅσα πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν καὶ ἀκοῦσαι, καὶ οὐκ εἶδον οὐδὲ ἤκουσαν· πάλιν· εἰ ἐπιστεύετε λέγει Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ ἐμοῦ γὰρ ἐκεῖνος ἔγραψε· κάλυμμα γὰρ τῇ ἀναγνώσει τῆς παλαιᾶς διαθήκης ἐπίκειται, ἢ ἐπιπόλαιος ἐκδοχή· ὧν οὐ χωροῦσι τέως διασχεῖν Ἰουδαῖοι· καὶ τὴν ὑπολάμπουσαν δόξαν Χριστοῦ, διὸ ἀπιστοῦσί τε καὶ ἐπιστοῦσι· ὥσπερ οἷς δὲ δέδοται γνῶναι τὰ κατ' αὐτὸν μυστήρια· καὶ βλέπουσιν ἀνακεκαλυμμένον τὸ Μωσέως πρόσωπον, δεδοξασμένον οἷς γέγραφεν ἅπερ εἰς Χριστόν, καὶ φαινόμενον Ἰουδαίοις ἀπρόσιτον· καὶ ἵνα μὴ λέγω χειρῶν σταυρικῶν ἔκτασιν· καὶ χαλκοῦν ὄφεως ὕψωσιν· καὶ σφαγὰς ἀμνοῦ· καὶ χρῖσιν αἵματος, οὐ παραθύραν φερομένην τοῦ πάθους Χριστοῦ, διὰ τῶν κατὰ χεῖρας φλιὰν καὶ σταθμούς· καὶ τἆλλα ὅσα μὴ ὑπὸ καλύμματι Μωσαϊκῶς πάνυ τοι παχυλῶς συσκιάζονται· νομοθετεῖται που δύο προσφέρειν ὀρνίθια καὶ τὸ μὲν σφάττειν· τὸ δὲ ἀποστέλλειν ζῶν· ἐπὶ δὲ χιμάρων ἕνα μὲν θυόμενον, ἕτερον δὲ ζῶντα πεμπόμενον, ἵνα τὸν ἡμέτερον σαφῶς ὑπογράψῃ σφάγιον· θνήσκοντα σαρκὶ καὶ ζῶντα θεότητι· ὡς καὶ Σαοὺλ τὸ πρὶν δὲ ἀρατσῶν δαιμονώντων Ἰουδαίων Σαούλ, τοὺς καθ' ἡμᾶς Δαβὶδ διωκόντων, παρ' ἃ συνέσταμεν κατὰ Δαβὶδ ἐν δόρατι· ἀλλ' ἐκκλίναντος τοῦ Δαβίδ, τῷ τοίχῳ τὸ βέλος ἐνήρμοσε· Χριστοῦ γὰρ ἡ μὲν θεία φύσις ἐκκλίνασα τὸ πάθος, τὸ δ' ἀνθρώπινον θνήσκει βληθέν· ὅπερ καὶ τοῖχον ἐν Ἄσμασι Σολομῶν ὠνόμασεν· ἰδοὺ οὗτος ἕστηκεν ὀπίσω τοῦ τοίχου· τῷ προσλήμματι γὰρ ὥσπερ καὶ τοίχῳ ἐπίκειται ὁ μονογενὴς θεὸς λόγος, διὰ τῶν θεοσημειῶν προὔφαινε